www.tezaurliturgic.ro

**Δρος Χαραλάμπους Μ. Μπούσια**
**Μεγάλου Ὑμνογράφου τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας**

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΔΙΑΚΟΝΟΥ
# ΕΥΠΛΟΥ
# ΤΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ



**Ἀθῆναι 2014**

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΔΙΑΚΟΝΟΥ
# ΕΥΠΛΟΥ
# ΤΟΥ ΜΕΓΑΛΟΜΑΡΤΥΡΟΣ

**Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΑ΄ Αὐγούστου.**

**Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια**

**************************************************

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Τῶν διακόνων Κατάνης σεπτὸν καλλώπισμα καὶ Μεγαλομαρτύρων, Εὖπλον, καύχημα μέγα, τιμήσωμεν οἱ δῆμοι τῶν εὐσεβῶν ὡς εἰδώλων κατάπτωμα καὶ ἀριστέα σταδίου, ὑπὲρ Χριστοῦ παναλκίμως ἐναθλήσαντα.

Ὁ παρεστὼς ἀθλοθέτῃ Χριστῷ σταζόμενος αὐτοῦ ῥοαῖς αἱμάτων, γενναιότατε Μάρτυς, Διάκονε θεόφρον, Εὖπλε στεῤῥέ, παρ᾽ Αὐτοῦ ἀγαλλόμενος ἔλαβες στέφος ἀμάραντον ἀληθῶς ἀντιμίσθιον ὡς ἄθλων σου.

Κλίνας αὐχένα τῷ ξίφει ἀνόμων, ἔνδοξε, καὶ ἐκτμηθεὶς τὴν κάραν προθυμότατα, Εὖπλε, μετέστης πρὸς λιμένα τῶν οὐρανῶν ἀκλυδώνιστον Κτίσαντος ἐπαπολαῦσαι τῆς δόξης καὶ τῆς χαρᾶς τῆς ἀφθίτου, Μάρτυς ἄριστε.

Χαῖρε, Διάκονε Εὖπλε, Μαρτύρων πρότυπον, ὁ ἀτραποὺς βαδίσας τῶν βασάνων προθύμως, σαρκίου δι᾽ ὀνύχων ὀδυνηρᾶς σοῦ σεπτοῦ ἀποξέσεως, Κατάνης γόνε πανεύφημε, σιδηρῶν, καὶ αὐχένος σου ἐκτμήσεως.

**Δόξα. Ἦχος β΄.**

Ὁλοθύμως τὸν διακονήσαντα τῇ ἐν Κατάνῃ Ἐκκλησίᾳ καὶ μαρτυρίου τὰς τρίβους βαδίσαντα, ὑπεριδόντα βασάνων πολυωδύνων, Εὖπλον τὸν ἀήττητον, εὐφημήσωμεν ὡς ἀκρότητα μεγαλάθλων οὕτω λέγοντες· Ὁ πορφύραν περιβεβλημένος ἐξ οἰκείων αἱμάτων καὶ στεφηφόρος παρεστὼς τῷ θρόνῳ τῆς δόξης σκήπτρῳ φέρων μαρτυρίου ἀρίστου,μὴ παύσῃ Χριστὸν ἡμῖν ἱλεούμενος τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

**Καὶ νῦν. Θεοτοκίον.** Τὴν πᾶσαν ἐλπίδα μου....

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Χαῖρε, ὁ εὐσταλὴς τῶν διακόνων Μάρτυς, σταδίου πρῶτε, Εὔπλε, ἀξίως οὐρανόθεν στεφάνους ὁ δεξάμενος.

**Στίχος.** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Μάρτυς πανευκλεές, ὁ τῆς διακονίας τὸ σκῆπτρον περιφέρων βαφὲν ῥοαῖς σου, χαῖρε, αἱμάτων, Εὔπλε πάντιμε.

**Στίχος.** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἤνεγκας ἀκλινῶς βασάνους,τοῦ σαρκίου τὴν ξέσιν καὶ τὴν τμῆσιν τῆς κεφαλῆς σου, Εὔπλε διάκονε, ὡς ἄσαρκος.

**Δόξα. Τριαδικόν.**

Δόξα Σοι, ὁ Θεός, ἰσχὺς τῶν διακόνων καὶ στηριγμὸς μαρτύρων, Τριὰς ὑπεραγία, ἡμῶν τὸ παραμύθιον.

**Καὶ νῦν. Θεοτοκίον.**

Χαῖρε, καταφυγὴ τῶν ἐν ἀνάγκαις ὄντων, Κυρία Θεοτόκε, καὶ ἡ χαρὰ στενόντων ἐν θλίψεσιν ἀείποτε.

Νῦν ἀπολύεις....**τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**

**************************************************

# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνὴρ εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια·**

**Ἦχος δ΄. Ἔδωκας σημείωσιν.**

Εὔπλε ἀξιάγαστε, διακονίας κειμήλιον, ὁ αἰσχύνας τοὺς σέβοντας τὰ ἄψυχα εἴδωλα σῇ στεῤῥᾷ ἐνστάσει καὶ εὐαρεστήσας τῷ Ποιητῇ σου καὶ Θεῷ ὑπομονῇ σου ἐν τοῖς ἀθλήμασιν ἀξίως στέφος εἴληφας νίκης ἀμάραντον, ἔνδοξε, καὶ εἰσῆλθες εἰς δώματα στεφηφόρος οὐράνια.

Δόλιχον διήνυσας τοῦ μαρτυρίου γηθόμενος καὶ εἰς πλάτος οὐράνιον κατήντησας, ἔνδοξε, Εὔπλε καλλιμάρτυς, διακόνων γέρας καὶ Ἐκκλησίας τοῦ Χριστοῦ στῦλε ἀσάλευτε· ὅθεν ἅπαντες σὴν μνήμην ἑορτάζοντες τὴν ἱερὰν καὶ πανσέβαστον σὰς εὐχὰς ἐκδεχόμεθα πρὸς τὸν εὔσπλαγχνον Κύριον.

Οἴακας τῆς πίστεως νηὸς βαστάζων εὐπλόησας, Εὖπλε, ταύτην πρὸς εὔδιον λιμένα καὶ ἄκλυστον σῇ στεῤῥᾷ ἀθλήσει καὶ βασάνων πλήθει, ὁ χάριτί σου τῶν παθῶν κοπάζων κλύδωνα τῶν τιμώντων σε τὸν ὄντως πολυτάραχον καὶ διεγείρων πρὸς αἴνεσιν τούτους τῆς παῤῥησίας σου καὶ πολλῶν θαυμασίων σου.

Ἔνθεε διάκονε Κατάνης, Εὖπλε πανίερε, σθένει θείῳ νευρούμενος εἰσῆλθες εἰς στάδιον θαυμαστῶν ἀγώνων καὶ ψυχῆς ἐφέσει ὅλη ἐκήρυξας Χριστόν, Θεὸς ὡς πάντων εὐσυμπαθέστατον, τὸν ἑκουσίως θάνατον ἐπὶ σταυροῦ ὑπομείναντα καὶ ζωὴν τὴν αἰώνιον τοῖς βροτοῖς δωρησάμενον.

Ἄστρον ὁλοπόρφυρον τῶν ἀρετῶν κατεφώτισας δᾳδουχίαις ἀγώνων σου σεπτῶν καὶ πυρσεύμασι σῆς διακονίας, Εὖπλε καλλιμάρτυς, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, νῦν τὴν τιμῶσαν τὴν θείαν μνήμην σου καὶ πόθῳ μεγαλύνουσαν τὴν εὐσθενῆ σου ἐνάθλησιν καὶ γενναίαν ἀπότμησιν κεφαλῆς πανιέρου σου.

Χαῖρε, ὁ αὐτόκλητος, οἴμοι, τὰ εἴδωλα σέβοντι παρεστώς, Εὖπλε τίμιε, τὰ ἄψυχα ἄρχοντι, καὶ ὁμολογήσας βήματος πρὸ τούτου ὅλη δυνάμει σου Χριστόν, τὸν πανεΰΐλατον καὶ γλυκύτατον Σωτῆρα πάσης κτίσεως, δι᾽ Οὗ καὶ κάραν ὑπέκλινας τῇ ἀκμῇ ξίφους ἄσμενος, καλλιμάρτυς πολύαθλε.

**Δόξα. Ἦχος πλ. β΄.**

Εὐαγγελικῶν ἀρχῶν τηρητὴς ὑπάρχων ἀκλινέστατος πρὸ Καλβιασιανοῦ ὑπερεμάχησας τῆς ἀληθείας καὶ διελέγξας αὐτοῦ τὴν ἀσέβειαν ὡς ἄσαρκος φρικτὰς ὑπέμεινας βασάνους, Εὖπλε, διάκονε Ἐκκλησίας θειότατε· ὅθεν τὴν μνήμην σου σήμερον ἑορτάζοντες καὶ μεγαλύνοντες τὰς ἐν τῷ σταδίῳ ἀριστείας σου Χριστὸν δοξάζομεν τὸν παρέχοντα ἡμῖν εὐχαῖς σου τὸ μέγα καὶ πλούσιον ἔλεος.

**Καὶ νῦν. Θεοτοκίον.** Τίς μὴ μακαρίσει σε,Παναγία Παρθένε,...

**Εἴσοδος.** Φῶς ἱλαρόν.

**Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.**

**Καθολικῆς Β΄ Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.**
**(Κεφ. α΄ 3 -11)**

Ἀδελφοί, ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως τοῦ Θεοῦ ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ τὰ πρὸς ζωὴν καὶ εὐσέβειαν δεδωρημένης διὰ τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διὰ δόξης καὶ ἀρετῆς, δι᾽ ὧν τὰ τίμια ἡμῖν καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διὰ τούτων γένησθε θείας κοινωνοὶ φύσεως ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς. Καὶ αὐτὸ τοῦτο δὲ σπουδὴν πᾶσαν παρεισενέγκαντες ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τὴν ἀρετήν, ἐν δὲ τῇ ἀρετῇ τὴν γνῶσιν, ἐν δὲ τῇ γνώσει τὴν

ἐγκράτειαν, ἐν δὲ τῇ ἐγκρατείᾳ τὴν ὑπομονήν, ἐν δὲ τῇ ὑπομονῇ τὴν εὐσέβειαν, ἐν δὲ τῇ εὐσεβείᾳ τὴν φιλαδελφίαν, ἐν δὲ τῇ φιλαδελφίᾳ τὴν ἀγάπην. Ταῦτα γὰρ ὑμῖν ὑπάρχοντα καὶ πλεονάζοντα οὐκ ἀργοὺς οὐδὲ ἀκάρπους καθίστησιν εἰς τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν· ᾧ γὰρ μὴ πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβὼν τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ ἁμαρτιῶν. Διὸ μᾶλλον, ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι· ταῦτα γὰρ ποιοῦντες οὐ μὴ πταίσητέ ποτε. Οὕτω γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ.

## Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
## (Κεφ. δ΄ 25 -3΄ 2)

Ἀδελφοί, ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλήλων μέλη. Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν ταῖς χερσίν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω, ἀλλ' εἰ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι. Καὶ μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Πᾶσα πικρία καὶ θυμὸς καὶ ὀργὴ καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ· γίνεσθε δὲ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ ὡς τέκνα ἀγαπητά καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ἡμᾶς καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
## (Κεφ. γ΄ 1 - 9)

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ
## Ἰδιόμελα.
## Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ ἡ εὔσημος τῆς Μεγάλης Ἑλλάδος Κατάνη πανηγυρικῶς τελοῦσα τοῦ διακόνου σου τὴν πανσεβάσμιον μνήμην, Εὔπλου, τοῦ ἐν σταδίῳ ἀριστεύσαντος, καὶ τοὺς εἰδωλόφρονας θριαμβεύσαντος· οὗτος γὰρ καλῶς διακονήσας τῇ Ἐκκλησίᾳ σου Χριστοῦ τὴν κλῆσιν ἄθλοις ἐμεγάλυνε καὶ τὸ βραβεῖον τῆς ἄνω ἀπείληφε κλήσεως· καὶ νῦν Ἀγγέλοις συναυλιζόμενος ἐκτενῶς Χριστῶ, τῷ οὐρανίῳ ἀθλοθέτῃ, πρεσβεύει ὑπὲρ τῶν τιμώντων αὐτοῦ τὸ μαρτύριον.

## Ἦχος β΄.

Ἐξέστησαν οἱ ἐν Κατάνῃ οἰκοῦντες γνῶντες τὴν ἐν τῇ Ἐκκλησίᾳ προσφοράν σου, ὅτε σε εἶδον ἀθλοῦντα γενναίως ὑπὲρ τῆς ἀληθείας, Εὖπλε, ἀλκίφρον μεγάλαθλε· σὺν αὐτοῖς καὶ Ἄγγελοι οὐρανόθεν ἀπεθαύμασαν τὴν εὐτολμίαν σου καὶ τὸ ἄχρις αἵματος βάθος τῆς πίστεώς σου, ἀγγελόμορφε διάκονε· σὺν αὐτοῖς καὶ ἡμεῖς χαίροντες τῇ πρὸς Θεὸν παῤῥησίᾳ σου μεγαλύνομεν τοὺς ἀθλητικούς σου πόνους καὶ τὰς θεοπειθεῖς σου εὐχὰς ἀπεκδεχόμεθα.

## Ἦχος γ΄.

Αἱ μαστιγώσεις, τοῦ σαρκίου σου αἱ ξέσεις, ἡ εἱρτκὴ, ἡ ἐπὶ ὀρθοῦ ξύλου κρέμασίς σου καὶ ἡ ἀποτομὴ τῆς τιμίας κεφαλῆς σου μαργαρῖται γεγόνασιν ἐν τῷ διαδήματι τῆς νίκης σου, Εὖπλε, καλλιμάρτυς διάκονε· αὐτὸ οὖν φέρων ἀξίως ἐπὶ τῆς κεφαλῆς σου ἀπῆλθες ὑπαντῆσαι τῷ Ἐφετῷ τῆς καρδίας σου, Ὧ καὶ πρεσβεύεις ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

## Ἦχος δ΄.

Διακονικῇ σου προθυμίᾳ εὐαρεστήσας τοὺς ἐν Κατάνῃ οἰκοῦντας καὶ τοὺς θαυμάζοντάς σε Ἀγγέλους χαροποιήσας εἰς τὸ στάδιον τῶν ἀγώνων εἰσῆλθες περιφανοῦς νίκης λαβεῖν τὸν κότινον, Εὖπλε τρισμακάριστε· δοξασθεὶς οὖν θεόθεν ἀφθαρσίας στέφει χάριν εἴληφας δαψιλῶς πρεσβεύειν ὑπὲρ τῶν τιμώντων τὴν ἀεισέβαστον μνήμην σου.

## Δόξα. Ὁ αὐτός.

Πικρὰς ὑπομείνας βασάνους ἀλύπου ζωῆς κληρονόμος ἐγένου, Εὖπλε, καλλίνικε Μεγαλομάρτυς· σὺ γὰρ πικρὸν διὰ ξίφους ὑποστὰς θάνατον τοῦ γλυκυτάτου σου Ἰησοῦ ἀπολαύεις τῆς εὐκλείας ἐν δώμασιν ἀφάτου ὡραιότητος· μὴ οὖν παύσῃ Αὐτοῦ δεόμενος ὡς ἔχων παῤῥησίαν ὑπὲρ ἀπελάσεως τῆς ἡμῶν πικρίας τῶν θλίψεως καὶ χαρμονῆς ἐμπλήσεως τῶν καρδιῶν τῶν τμώντων σε.

**Καὶ νῦν. Θεοτοκίον.**
Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε,...

**Εἰς τὸν Στίχον. Στιχηρὰ Ἀπόστιχα.**
**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, τῶν διακόνων λαμπὰς παμφαεστάτη, ἡ φωτίζουσα σύμπαντα ἀκτῖσι τῆς σῆς ἀνδρείας καὶ παῤῥησίας πολλῆς πρὸ ἀσεβεστάτου, οἴμοι, βήματος τυράννων τὰ εἴδωλα λατρευόντων τὰ ἄψυχα, Μεγαλομάρτυς τοῦ Χριστοῦ, Εὖπλε πάντιμε, ὁ σαρκίου σου χοϊκοῦ μὴ φεισάμενος καὶ εἰσελθὼν εἰς στάδιον ἐνδόξου ἀθλήσεως καὶ ἐκτομῆς κεφαλῆς σου τῆς σεβασμίας, πανύμνητε, τῷ ξίφει ἀπίστων, ὧν ὀφρὺν τὴν ἐπηρμένην λόγοις ἐπάτησας.

**Στίχος.** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Χαίροις, ὁ τῷ Σταυρῷ τοῦ Χριστοῦ διακονίας σου ἐν χρόνοις φραξάμενος αἰσθήσεις τὰς τῆς ψυχῆς σου καὶ εὐθαρσῶς πρὸς ἐχθρὸν ἑκουσίως, Εὖπλε θεοτίμητε, διάκοσμε πάντιμε ἀθλοφόρων, ἐχώρησας, οὗ σῇ ἐνστάσει κατεπάτησας ἔπαρσιν καὶ ἀθλήσει σου εὐσθενεῖ ὅνπερ ᾔσχυνας· ὅθεν σε μεγαλύνοντες τελοῦμεν τὴν μνήμην σου τὴν ἱερὰν καὶ φωσφόρον μελισταγέσιν ἐν ᾄσμασι καὶ δοξολογοῦμεν τὸν λαμπρῶς δοξάσαντά σε ποικίλοις θαύμασι.

**Στίχος.** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Χαίροις, ὁ ὑπομείνας εἱρκτήν, σαρκίου ξέσιν, ἐπ' ὀρθοῦ ξύλου κρέμασιν καὶ τμῆσιν τῆς κεφαλῆς σου, Εὖπλε, Μαρτύρων πυρσέ, τῆς διακονίας ἄνθος ἥδιστον, ὁ ἄπιστον τύραννον προσπαλαίσας καὶ Κτίσαντι εὐαρεστήσας πάντων τῷ βασιλεύοντι, Οὗ ἠξίωσαι ἀπολαύειν λαμπρότητος θείας μορφῆς ἐν δώμασι τοῦ πόλου καὶ τάγμασι συνεπαγάλλῃ Ἀγγέλων καὶ μεγαλάθλων τῆς πίστεως ἡμῶν τοῦ Σωτῆρος, ἐγκαλλώπισμα Κατάνης ἀξιοσέβαστον.

**Δόξα. Ἦχος πλ. δ΄.**

Συντρίψας ἀνδρειότατα τὰς τοῦ δυσμενοῦς παγίδας καὶ τῶν ἀναισθήτων εἰδώλων τοὺς λάτρειας αἰσχύνας ἐνστάσει τιμίᾳ σου, Εὖπλε διάκονε, τρόπαιον ἤγειρας περιλάμπρον δι' ἀθλητικῶν σου παλαισμάτων· ὅθεν τὴν μνήμην σου οἱ πιστοὶ ἑορτάζοντες καὶ τιμῶντες τὴν καθαρὰν καὶ εὐαπόδεκτον θυσίαν σου τὰς πρὸς Κύριον εὐχάς σου ἐξαιτούμεθα πρὸς ἀρετῆς ὁλοκλήρωσιν καὶ ζωὴν τὴν αἰώνιον.

**Καὶ νῦν. Θεοτοκίον.** Δέσποινα, πρόσδεξαι....

Νῦν ἀπολύεις...**τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.**

**Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.**

Διακόνων τὸ κλέος ἐγκωμιάσωμεν, Κατάνης γόνος καὶ στῦλον τῆς Ἐκκλησίας Χριστοῦ ὑπομείναντα βασάνους ὡς ἀσώματον, Εὖπλον, Μαρτύρων καλλονήν, τὸν τρωθέντα ἀπηνῶς τοῦ ξίφους ἀκμῇ ἀπίστων, καὶ εὐπλοεῖν ἡμᾶς χάριν λαβόντα ὅρμον εἰς οὐράνιον.

**Θεοτοκίον.** Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

**Ἕτερον Ἀπολυτίκιον**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ὡς θεῖος διάκονος, τῆς Ἐκκλησίας Χριστοῦ, ὁσίως διήγαγες, τὰ πρὸς Θεὸν καὶ πιστῶς, καὶ ἤθλησας ἄριστα, σὺ γὰρ ἐν τῷ πελάγει, τῶν ποικίλων ἀγώνων, εὔπλοος ἀνεδείχθης, παμμακάριστε Εὖπλε. Καὶ νῦν πρὸς λιμένας ἡμᾶς, θείους κυβέρνησον.

**Ἀπόλυσις.**

**************************************************************

# ΕΝ ΤΩ ΟΡΘΡΩ

**Μετὰ τὸν Ἑξάψαλμον τὸ Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ δὲ τὴν α΄ Στιχολογίαν Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.**

Διάκονε Χριστοῦ Ἐκκλησίας τρισμάκαρ, μαρτύρων καλλονὴ ἀληθῶς ἀνεδείχθης καὶ κάραν ὑπέκλινας τῇ ἀκμῇ ξίφους, ἔνδοξε, τῶν τὰ εἴδωλα, οἴμοι, σεβόντων ὡς ἄλλου, Εὖπλε, πάσχοντος, καὶ στεφηφόρος ἀνῆλθες πρὸς πόλιν οὐράνιον.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Ἡμᾶς διακονεῖν πᾶσι τοῖς ἐνδεέσι καὶ πένησιν, Ἁγνή, καταξίωσον, Μῆτερ, ἀφράστως ἡ τέξασα τὸν ἐλθόντα Θεάνθρωπον πᾶσι μέροψι διακονῆσαι καὶ σῶσαι τοὺς τιμῶντάς σε ἐξ αἰωνίου θανάτου, σεμνὴ ἀειπάρθενε.

**Μετὰ τὴν β΄ Στιχολογίαν Κάθισμα.**
**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Κατάνης διάκονε, μὴ δειλιάσας πληθὺν βασάνων πρὸ βήματος δικαστικοῦ ἀληθῶς Χριστὸν ὡμολόγησας, Εὖπλε γενναιομάρτυς, καὶ ἀνόμων τὸ ξίφος μὴ φοβηθεὶς τὴν πλάνην ἐθανάτωσας τάχος εἰδώλων· ὅθεν πίστει τοὺς σοὺς ἄθλους γεραίρομεν.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Θεὸς κατεσκήνωσεν ἐν τῇ σεπτῇ σου γαστρὶ ἀφράστως, Μητρόθεε, ὁ Ποιητὴς τοῦ παντός, Χριστὸς ὁ φιλάνθρωπος, καὶ μὴ σαλεύσας κλεῖθρα παρθενίας σου, Μῆτερ, ἔδειξεν ὑπερτέρα σὲ Ἁγίων Ἀγγέλων, ἁπάντων τῶν παρθένων φρουρὲ ἐν περιστάσεσι.

**Μετὰ τὸν Πολυέλεον Κάθισμα.**
**Ἦχος γ´. Τὴν ὡραιότητα.**

Τὸν κρατυνόμενον δυνάμει κρείττονι καὶ τὸν Θεάνθρωπον ὁμολογήσαντα μέσον ἀρχόντων ἀσεβῶν, ὧν ἤλεγξε τὴν ἀπάτην, εὐσταλῆ διάκονον τῆς Κατάνης τιμήσωμεν ὡς μεγαλομάρτυρα τοῦ Χριστοῦ θείας πίστεως ἐν ἄκρᾳ εὐλαβείᾳ βοῶντες· Χαῖρε, σταδίου, Εὖπλε, πρῶτε.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Τὴν σκοτισθεῖσάν μου ψυχὴν καταύγασον φωτὶ τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως καὶ πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

**Τὸ α´ Ἀντίφωνον τοῦ δ´ ἤχου καὶ τὸ Προκείμενον.**

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...
**Στίχος.** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

**Εὐαγγέλιον· κατὰ Λουκᾶν (Κεφ. ι´ 16 - 21 ).**
Εἶπεν ὁ Κύριος τοῖς αὐτοῦ μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει...
**Ζήτει τῇ Η´ Νοεμβρίου.**

**Δόξα.**Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις, Ἐλεῆμον,...
**Καὶ Νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον,..

**Ἰδιόμελον. Ἦχος πλ. β´.**
**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὁ διακονήσας τῇ τοῦ Χριστοῦ ἐν Κατάνῃ Ἐκκλησίᾳ καὶ αὐτὴν κατακοσμήσας σαπφείροις αἱμάτων σου, Εὖπλε, σταδίου πρώταθλε, ἐπάκουσον ἡμῶν δεομένων σου καὶ πιστῶς βοώντων σοι· Πολύαθλε μάρτυς, ὁ ὑπερμαχήσας τῆς εὐσεβείας ἄχρι θανάτου, ἐκτενῶς ἱκέτευε τὸν δοξάσαντά σε Κύριον ὑπὲρ εἰρήνης τοῦ κόσμου καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

**Σῶσον, ὁ Θεός, τὸν λαόν Σου...**

**Εἶτα ὁ Κανὼν τοῦ Ἀποστόλου, οὗ ἡ ἀκροστιχίς·**
**" Εὔπλου, διακόνου καὶ μάρτυρος, αἶνος. Χ.Μ."**

### Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Εὐσχήμως τὴν μνήμην σου τὴν ἱερὰν ἑορτάζοντες τιμῶμεν τοὺς ἄθλους σου, οὓς ἔτλης περιφανῶς δι' εὐσέβειαν καὶ τοῦ Χριστοῦ ἀγάπην, διάκονε πάντιμε, Εὖπλε ἀήττητε.

Ὑμνοῦμεν βασάνους σου πολυωδύνους, ἀοίδιμε, τὴν ξέσιν σαρκίου σου διὰ χειρῶν σιδηρῶν, καὶ σὴν κρέμασιν, τρισμάκαρ, ἐπὶ ξύλου ὀρθοῦ, Εὖπλε ἄριστε, Μάρτυς διάκονε.

Πολύτιμον κόσμημα τῆς Ἐκκλησίας τοῦ Κτίσαντος, διάκοσμε τίμιε τῶν διακόνων Χριστοῦ, Εὖπλε, ἤθλησας λαμπρῶς ἐν τῷ σταδίῳ καὶ πόνους ὑπήνεγκας ἄλλου ὡς πάσχοντος.

**Θεοτοκίον.**

Λαμπὰς ἀγαθότητος καὶ παρθενίας ὑπέρφωτε, πανύμνητε Δέσποινα, ἡμῶν ἀχλὺν τῶν παθῶν διασκέδασον φωτὶ δεήσεών σου πρὸς Τόκον σου ἅγιον, Θεογεννήτρια.

### Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ὁδὸν τῆς ἀθλήσεως βαδίσας καλῶς τοῦ Καλβιασιανοῦ τὸ ἐπηρμένον φρύαγμα ἐπάτησας, διάκονε τῆς Ἐκκλησίας φίλεργε, Εὖπλε, Μαρτύρων ἀκρώρεια.

Ὑμνοῦμεν καμάτους σου ἀρίστους ἐν στίβῳ ἀγάπης τοῦ Χριστοῦ, βασάνους κατωδύνους σου καὶ τμῆσιν τοῦ αὐχένος σου, ὃν ἀκλινῶς ὑπέμεινας, Εὖπλε, δοξάζων τὸν Ὕψιστον.

Διάκονε Μάρτυς, ἀριστεύσας ἐν σκάμματι πίστεως Χριστοῦ, Κατάνης χθόνα ἔχρωσας αἱμάτων σου τοῖς ῥεύμασι καὶ ἐκ χειρῶν Κυρίου σου, Εὖπλε, στεφάνους ἀπείληφας.

**Θεοτοκίον.**

Ἰδεῖν τῆς μορφῆς Υἱοῦ σου κάλλος ἀξίωσον πάντας τοὺς πιστῶς ἀεί σε μακαρίζοντας, Θεογεννῆτορ ἄχραντε, καὶ Εὔπλου κατορθώματα ὑμνοῦντας τοῦ γενναιόφρονος.

### Μεσῴδιον Κάθισμα.
### Ἦχος γ΄. Θείας πίστεως.

Διαδήματι ἐστολισμένος ἀριστείας σου ἐν τῷ σταδίῳ καὶ στολὴν νικητικὴν ἐνδυσάμενος τοῦ Παραδείσου τὴν πύλην διήνοιξας καὶ τῶν Μαρτύρων χοροῖς προσεχώρησας, Εὖπλε πάντιμε, διάκονε ἱερώτατε, Χριστῷ διηνεκῶς συνεπαγάλλεσθαι.

**Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.**

Μῆτερ ἄχραντε τοῦ Φωτοδότου Παντοκράτορος Ὑψίστου Λόγου, διασκέδασον παθῶν τὴν σκοτόμαιναν τῶν προστρεχόντων τῇ θείᾳ σου χάριτι καὶ καταφώτισον τρίβους τῶν δούλων σου, θαυμασίων σου ὑμνούντων πληθὺν τὴν ἄμετρον καὶ Τόκον σου αἰνούντων τὸν πανάχραντον,

**Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Ἀθλοφόρων ὡραιότης, σαῖς ῥανίσι σταζόμενος τῶν αἱμάτων, Εὖπλε, τῷ Χριστῷ παρέστης γηθόμενος, τῷ κατ᾽ ἀξίως σε, μάκαρ, στεφανώσαντι ἀφθαρτότητος στεφάνοις, Μάρτυς πολύαθλε.

Κατορθώματά σου, Εὖπλε, ἐν σταδίῳ, διάκονε, καὶ ἡ καρτερία ἣν ἐν τοῖς βασάνοις ὑπέδειξας, ἤνοιξαν χείλη Κατάνης ὁμηγύρεως μεγαλύνειν σε ὡς ἀριστέα πανεύφημον.

Ὀξυγράφου, μάκαρ Εὖπλε, ὥσπερ κάλαμος, ἔνθεε, γλῶσσα χριστωνύμων τεθηγμένη Πνεύματος χάριτι σοῦ καταγράψαι ἀθλήματα οὐ δύναται πρὸς κραταίωσιν Χριστοῦ τοῦ θείου ὀνόματος.

**Θεοτοκίον.**

Νέκρωσόν μου τὰς κινήσεις τῆς σαρκός, Μητροπάρθενε, Κεχαριτωμένη, καὶ τὸν νοῦν μου ζώωσον τάχιστα πρὸς σοῦ Υἱοῦ, τοῦ Θεοῦ Ὑψίστου, αἴνεσιν, τοῦ παρέχοντος ἡμῖν ἀφθόνως τὸ ἔλεος.

**Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.**

Οὐ παύω τοὺς ἄθλους σου ὑμνῶν τοὺς ὑπὲρ ἔννοιαν, οὕσπερ ἐν σταδίῳ ἔτλης, Εὖπλε, πρὸς καταισχύνην στυγνῶν εἰδωλολατρῶν καὶ θείας κραταίωσιν Χριστοῦ κλήσεως, μεγάλαθλε, διακόνων εὐπρέπεια.

Ὑμνοῦμεν ἀγῶνάς σου τιμίους ὑπὲρ πίστεως, Εὖπλε, θεῖον βλάστημα Κατάνης, καὶ κεφαλῆς σου τῆς ἱερᾶς ἐκτομήν, ὁμολογησάσης τοῦ Χριστοῦ ὄνομα τὸ ἅγιον ἀσεβῶν πρὸ τοῦ βήματος.

Καλῶς ἐκτετέλεκας τὸν βίον σου, ἀοίδιμε Εὖπλε, ἐν σταδίῳ καὶ θεόθεν εἴληφας στέφος τῆς ἀφθαρσίας χρυσοῦν ὡς μάρτυς ἀήττητος, στεῤῥέ, ὁ ἐγείρας τρόπαιον εὐσεβείας ὑπέρλαμπρον.

**Θεοτοκίον.**

Ἀπαύστως ὑμνοῦντές σου τῶν θαυμασίων πέλαγος, Κεχαριτωμένη Θεοτόκε, παρακαλοῦμεν· Τὸν σὸν Υἱὸν καὶ Θεὸν δυσώπει, τὸν εὔσπλαγχνον, ἡμῖν πέμψαι θείαν δύναμιν καὶ ἰσχὺν καὶ ὑγίειαν.

## Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ἰδεῖν ἐν πόλῳ ἠξίωσαι παμφώτῳ, ἃ ἐπόθεις ἐν βίῳ σου, Εὖπλε διάκονε, καὶ τὸν Σωτῆρα καὶ Κύριον, Ὃν ἐν σταδίῳ ἄθλοις σοῖς ἐμεγάλυνας.

Μυρίους πόνους ὑπέμεινας σαρκίου σου τὴν ξέσιν, τὴν κρέμασιν, Εὖπλε μακάριε, καὶ κεφαλῆς σου ἀπότμησιν διὰ Χριστοῦ ἀγάπην τοῦ παμφιλτάτου σοι.

Ἀθλήσας, Εὖπλε, ὡς ἄσαρκος Ἀγγέλων τοῖς χοροῖς συνηρίθμησαι καὶ κάλλος ἄῤῥητον Χριστοῦ μορφῆς κατηξίωσαι ἰδεῖν ἐν τῇ ἀλήκτῳ μακαριότητι.

### Θεοτοκίον.

Ῥοὰς δακρύων ἀπόσμηξον ἡμῶν τῶν προστρεχόντων σῇ χάριτι, Θεογεννήτρια, και δοξαζόντων τὸν Τόκον σου, δωρούμενον τῷ κόσμῳ τὸ μέγα ἔλεος.

### Κοντάκιον. Ἦχος πλ΄ δ΄. Τῇ Ὑπερμάχῳ.

Τὸν ἱερώτατον διάκονον καὶ μάρτυρα τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ἐγκωμιάσωμεν, θεῖον βλάστημα Κατάνης τῆς Σικελίας καὶ σταδίου ἴον εὔοσμον τὰ σύμπαντα καθηδῦναν εὐωδίᾳ γενναιότητος πόθῳ κράζοντες· Χαίροις, Εὖπλε ἀοίδιμε.

### Ὁ Οἶκος.

Ἄγγελος διακόνων καὶ μαρτύρων ἐπώφθης, πολύαθλε καὶ πάντιμε Εὖπλε, ὁ τὴν κλῆσιν Χριστοῦ τοῦ Θεοῦ μεγαλύνας πίστει πρὸ ἐχθρῶν βήματος καὶ κατευφράνας τάγματα Κατάνης εὐσεβῶν βοώντων·

Χαῖρε, ἀκρότης καλλιμαρτύρων· χαῖρε, σεμνότης τῶν διακόνων.

Χαῖρε, Ἐκκλησίας Χριστοῦ σεμνολόγημα· χαῖρε, ἀριστείας ἐν στίβῳ θησαύρισμα.

Χαῖρε, ὅτι καθυπέμεινας κολασμούς τε καὶ εἱρκτήν· χαῖρε, ὅτι ξίφει ἔκλινας σὴν τιμίαν κεφαλήν.

Χαῖρε, ῥόδον εὐῶδες τὴν Κατάνην ἡδύναν· χαῖρε, βάκτρον ἀγάπης κλονουμένους στηρίξαν.

Χαῖρε, πιστῶν τραπέζης διάκονος· χαῖρε, ἐχθρῶν ἀπάτης ἀντίπαλος.

Χαῖρε, ἀνδρείως ἀγῶνα τελέσας· χαῖρε, εὐτόλμως πρὸς στίβον χωρήσας·

Χαῖρε, Εὖπλε ἀοίδιμε.

**Καὶ ἀναγιγνώσκεται τὸ Μηνολόγιον τῆς ἡμέρας, ἤτοι τῆς ΙΑ´ Αὐγούστου. Εἶτα λέγομεν·**

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου, ἐνδόξου διακόνου, Εὔπλου τοῦ Μεγαλομάρτυρος.

**Στίχοι.**

Εὐπλοεῖν ἄκατον Χριστοῦ Ἐκκλησίας
δι᾽ ἀγώνων στεῤῥῶν, Εὖπλε, ἠξιώθης.

**Συναξάριον.**

Ὁ ἔνδοξος Μεγαλομάρτυς Εὔπλος, ὁ διάκονος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, ἦν ἐπὶ Διοκλητιανοῦ τοῦ βασιλέως ἐκ πόλεως Κατάνης τῆς τῶν Σικελῶν ἐπαρχίας. Διαβληθεὶς ὡς Χριστιανὸς εἰς τὸν ἄρχοντα Καλβιασιανὸν καὶ τὸν Χριστὸν παῤῥησίᾳ ὁμολογήσας συνελήφθη καὶ δέσμιος ὡδηγήθη εἰς ξύλον ὀρθόν, ἐν ᾧ ἐκρεμάσθη καὶ χερσὶ σιδηραῖς τὴν σάρκα κατεξέσθη ἄχρις οὗ ἤκουσε φωνῆς ἐξ οὐρανοῦ αὐτὸν ἐνισχυούσης ἐν τοῖς βασάνοις. Εἶτα σφύραις σιδηραῖς τὰς κνήμας ἐθλάσθη καὶ ἐν εἱρκτῇ ἀποῤῥιφθεὶς μόνον ἀνακούφισιν ἔσχεν ἐν τῇ ἀδιαλείπτῳ προσευχῇ. Εἶτα πάλιν ἐκβληθεὶς σιδηροῖς ὄνυξι πεπυρακτωμένοις τὰς ἀκοὰς αὐτοῦ κατετρώθη καὶ τέλος τῇ τοῦ ξίφους τιμωρίᾳ κατεδικάσθη.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ´. Οὐκ ἐλάτρευσαν.**

Τῷ Κυρίῳ σου παρέστης, Εὖπλε πάντιμε, σεμνὲ διάκονε, μετὰ τὸ σὸν εὐσθενὲς μαρτύριον, ἔνδοξε, ἐν ᾧ κατήσχυνας τῇ ἐνστάσει σου καὶ ἄθλοις ὑπὲρ ἔννοιαν τοὺς λατρεύοντας τοὺς λίθους.

Ὑμνῳδίαις σου τιμῶμεν κατορθώματα, Εὖπλε θεσπέσιε, τὸ σφρῖγος σοῦ τῆς ψυχῆς καὶ πίστιν ἀκλόνητον τὴν σὴν πρὸς Κύριον, τὸν παρέχοντα θεόθεν μέγα ἔλεος τοῖς Αὐτὸν σεμνῶς φιλοῦσι.

Ῥήξας αἵμασι τιμίοις σου, πολύαθλε, Εὖπλε διάκονε, εἰδώλων πλάνης δεσμοὺς Κατάνης ἐπότισας τὴν χθόνα, ἔνθε, πρὸς πολύφορον καρποφορίαν πίστεως, ἀθλοφόρε καλλιμάρτυς.

**Θεοτοκίον.**

Οἱ προστρέχοντες τῇ χάριτί σου, Δέσποινα, οὐ καταισχύνονται, Θεογεννῆτορ σεμνή· ἐξ ὕψους γὰρ δόξης σου πιστοὺς ἀείποτε σὲ γεραίροντας ἐπευλογεῖς, πανύμνητε, καὶ φρουρεῖς καὶ περισκέπεις.

**Ὠδὴ η´. Παῖδας εὐαγεῖς.**

Στῦλε ἀκλινέστατε ἀνδρείας, τῇ ῥάβδῳ θερμῶν εὐχῶν σου ἐπιστήριζε σὲ τοὺς μακαρίζοντας ὡς σταδίου πρώταθλον καὶ ἐκτελοῦντας μνήμην σου τὴν ἀεισέβαστον, Κατάνης ἐγκαλλώπισμα θεῖον καὶ πυξίον παντων τῶν μεγαλομαρτύρων.

Ἄριστον πρὸ βήματος ἀνόμων, διάκονε, ἐπιδείξας, μάκαρ, φρόνημα, ἔπαρσιν συνέτριψας τῶν σεβόντων εἴδωλα καὶ ἐν σταδίῳ ἤθλησας ὡς ἄλλου πάσχοντος, διάκονε πανεύφημε, Εὖπλε, Ἐκκλησίας ῥόδον ἡδὺ καὶ μυροβόλον.

Ἴασαι ἡμῶν τὰς ἀσθενείας δυνάμει μαρτυρικῇ σου, Εὖπλε πάνσοφε, χάριν ὁ οὐράνιον εἰληφὼς προσφύγων σου διώκειν τὰ νοσήματα καὶ τὴν ὑγίειαν βραβεύειν τοῖς πιστῶς εὐφημοῦσι σοῦ τὴν σεβασμίαν καὶ φωτοφόρον μνήμην.

**Θεοτοκίον.**

Νέκταρος τρυγῆσαι ἀφθαρσίας ἀξίωσον τοὺς πιστῶς σε μεγαλύνοντας, Παναγία Δέσποινα, ἄνθος τὸ ἀμάραντον, Χριστόν, ἡ ἐξανθήσασα, ἡδῦνον ἅπαντας τῷ νέκταρι Αὐτοῦ συμπαθείας πρὸς ἐμπεριστάτους καὶ κάμνοντας, Παρθένε.

**ᾨδὴ θ΄. Ἅπας γηγενής.**

Οἱ τῶν γηγενῶν χοροὶ μεγαλύνομεν τῶν θαυμασίων σου πλῆθος, Εὖπλε ἄριστε, καὶ σῶν ἀγώνων τὰ κατορθώματα, δι’ ὧν βραβεῖον εἴληφας τῆς ἄνω πόλεως συγχορεύειν τῶν Ἀγγέλων τάγματα καὶ Μαρτύρων χοροῖς συναγάλλεσθαι.

Σῶσον ἐκ φθορᾶς τοὺ σὲ μεγαλύνοντας ὡς καλλιμάρτυρα, Εὖπλε παναοίδιμε, τῆς ἀφθαρσίας ὁ θεῖον στέφανον ἐν τῶν χειρῶν δεξάμενος τοῦ Παντοκράτορος, τοῦ τὰ γέρα πᾶσιν ἀπονέμοντος τοῖς Αὐτὸν ἔργοις βίου δοξάζουσι.

Χαῖρε, ἀθλητὰ διάκονε ἄριστε, χαῖρε, τῆς πίστεως εὖχος τιμαλφέστατον, χαῖρε, Μαρτύρων τὸ ἀκροθίνιον, χαῖρε, εἰδώλων σύντριμμα καὶ μέγα καύχημα Ἐκκλησίας, Εὖπλε ἱερώτατε, ἀριστεῦ τοῦ σταδίου πανύμνητε.

**Θεοτοκίον.**

Μῆτερ τοῦ Θεοῦ, μνημόνευε δούλων σου, μεγαλυνόντων σε καθ’ ἑκάστην ᾄσμασιν ὡς καταφύγιον τῶν ἐν κλύδωσι καὶ θεῖον παραμύθιον τῶν ἐν στενώσεσι, Παναγία, βίου, εὐσυμπάθητε, ἱλαστήριον κόσμου θερμότατον.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Διάκονε μεγάλαθλε, σταδίου θεῖε πρώταθλε, Κατάνης εὔοσμον ἴον καὶ ἀριστείας πυξίον, ὁ ὑπομείνας κάρας σου τῆς σεβασμίας ἔκτμησιν καὶ νίκης στέφος ἄφθαρτον λαβὼν ἀξίως θεόθεν, Εὖπλε θειότατε, χαῖρε.

**Θεοτοκίον.**

**Φ**ωτὶ τῶν σῶν δεήσεων, Θεογεννῆτορ Δέσποινα, πρὸς τὸν σεπτὸν Φωτοδότην τῆς ὑφηλίου ἁπάσης διάλυσον σκοτόμαιναν παθῶν τῶν ἀνυμνούντων σε καὶ ἦμαρ ἐξανάτειλον αὐτοῖς ταχὺ ἀπαθείας καὶ σωτηρίας, Παρθένε.

**Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.**

**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος !**

**Ε**ὖπλε, διακόνων σέμνωμα, Κατάνης γόνε σεμνέ, ἀτραποὺς τῆς ἀθλήσεως ὁ βαδίσας ἄσμενος καὶ αἰσχύνας ἐνστάσει σου ἀψύχους λίθους, οἴμοι, τοὺς σέβοντας καὶ κατευφράνας πιστῶν ὁμήγυριν ἐγκαυχωμένην σοι καὶ λαμπρῶς τὴν μνήμην σου τὴν ἱερὰν ἐκτελοῦσαν, πρέσβευε ὑπὲρ προσφύγων σου.

**Δ**εῦτε, ὁλοθύμως μέλψωμεν Εὖπλον, Χριστοῦ τοῦ Θεοῦ Ἐκκλησίας διάκονον τὸν σεπτὸν καὶ μάρτυρα εὐσεβείας ἀήττητον, τὸν καθελόντα ἀπίστων ἔπαρσιν στεῤῥᾷ ἐνστάσει καὶ ῥείθροις αἵματος καὶ κατευφράναντα εὐσεβούντων σύλλογον ἄθλοις αὐτοῦ ἄχρι θανατώσεως ὑπὲρ τῆς πίστεως.

**Ε**ὖπλε, καλλιμάρτυς ἔνδοξε, ἐν τῷ πελάγει τῶν σῶν παλαίσματων, μακάριε, ἀνεδείχθης εὔπλοος καὶ πρὸς ὅρμον κατηύθυσας εὔδιον, πάτερ, ψυχῆς σου ἄκατον, Χριστῷ συγχαίρειν καὶ συναγάλλεσθαι, Ὢ ἱλεούμενος σὲ τοῖς μεγαλύνουσι διηνεκῶς μὴ ἐλλείπης, Ἅγιε, τοῦ πόλου ἔνοικε.

**Ὕ**μνοις καὶ ᾠδαῖς καὶ ᾄσμασι μελισταγέσι χορὸς εὐσεβῶν μεγαλύνει σε, Εὖπλε τρισμακάριστε, ὡς τῆς πίστεως πρώταθλον και ἀριστέα σταδίου πάγκαλον, Θεοῦ δυνάμει τὸν καταισχύναντα πάντας τοὺς σέβοντας εἴδωλα ἀναίσθητα καὶ τοὺς πιστοὺς μύρῳ καθηδύναντα πανσέπτων ἄθλων σου.

**Δόξα. Ἦχος πλ. α΄.**

**Τ**ὸν ἑστῶτα ἀνδρείως πρὸ εἰδωλολατρῶν βήματος καὶ ὑπερμαχήσαντα Χριστοῦ τῆς ἀληθείας ἄχρις αἵματος, Εὖπλον, τὸν ἐνθεώτατον διάκονον καὶ ἀήττητον μάρτυρα, καταστέψωμεν ἀξίως τῶν ὕμνων ἄνθεσι καὶ αὐτῷ μεγαλοφώνως βοήσωμεν· Ὁ προθύμως διελέγξας ἀπίστους καὶ ξίφει ὡς ἀμνὸς ἀποκτανθεὶς ἐνιαύσιος, μὴ παύσῃ Χριστὸν ἐκδυσωπῶν τὸν εὔσπλαγχνον εὐπλοΐας ἡμᾶς ἀξιῶσαι ἐν τῶ πελάγει βιοτῆς τῆς προσκαίρου καὶ ἀξιῶσαι τῆς γαλήνης τοῦ οὐρανίου λιμένος, πανεύφημε.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε,...

**Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.**

***********************************************************

# ΕΝ Τῌ ΛΕΙΤΟΥΡΓΙᾼ

**Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ διακόνου καὶ μάρτυρος ἡ γ´ καὶ ἡ στ´ ᾠδή.**

**Ἀπόστολος: Πράξεις τῶν Ἀποστόλων. (Κεφαλ. στ´ 1-7).**
Ἐν ταῖς ἡμέραις ἐκείναις πληθυνόντων τῶν μαθητῶν ἐγένετο γογγυσμὸς τῶν Ἑλληνιστῶν....
**Ζήτει τῇ Κυριακῇ τῶν Μυροφόρων.**

**Εὐαγγέλιον κατὰ Ματθαῖον (Κεφ. ε´ 14 -19 ).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου...
**Ζήτει τῇ ΙΗ´ Ἰανουαρίου.**

**Κοινωνικόν.** Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ....

**Μεγαλυνάριον.**

Εὔπλοος ἐδείχθης, Μάρτυς Χριστοῦ, ἐν τοῦ μαρτυρίου τοῖς ἀγῶσι καὶ οὐρανῶν εἰς λιμένα, Εὔπλε Διάκονε στεῤῥόφρον, κατήντησας Ἀγγέλοις συνεπαγάλλεσθαι.

**Δίστιχον.**

**Διάκονον εὖπλον Γεωργίου χάριν,**
**μεγάλαθλον, ᾖσε Χαραλάμπης πόθῳ.**

**Τρισσεῦον, "Κύριε, ἐλέησον", ὡς ἐν Λιτῇ Ἁγίου Ὄρους·**

**Εὐπλοεῖν ἀξίωσον,* *Εὖπλε,* τοὺς τιμῶντάς σε* ὅρμον εἰς οὐράνιον.**

**Τ Ε Λ Ο Σ**

**Κ Α Ι   Δ Ο Ξ Α**

**Τ ῼ   Μ Ο Ν ῼ   Α Λ Η Θ Ι Ν ῼ**

**Θ Ε ῼ   Η Μ Ω Ν**

**Ἀριθμ. Καταλ. Α 713/ 5-8-12**